课文 *ΕΠΙ ΣΤΡΑΤΕΙΑΣ*

语法

I. 形容词性从句(关系从句)

II. 命令、规劝和愿望

1. 命令
2. 禁止
3. 规劝
4. 愿望
5. 间接命令

【动词练习】

1. *Καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο κοινῇ καὶ συνεσιτοῦμεν ἐκεῖ. πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων.*

γίγνομαι 产生，出现，生成，成为 *I become, come to be*

— *γίγνομαι, γενήσομαι, ἐγενόμην, γέγονα, --, --*

συσσιτέω [*συν, σιτέω*] 和(某人)同桌吃饭，(在军中)共食 *I mess with*

— *σιτέω* [*σῖτος, ὁ* 谷物、食物 *food*] 吃食物，进餐 *I feed, eat*

περί-ειμι [*περί, εἰμί*] 超过，胜过，幸存 *I am superior, surpass, survive*

A. 请对句中的动词进行词形分析

B. 请填写 *περίειμι* 的“不过、主动、直陈”各词形

单数	复数
περιῇ	

2. *ὁπότ' ἀναγκασθείημεν ἀποληφθέντες που, οἷα δὴ ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ*

καρτερεῖν· ἔν τ' αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ' ἦν τά τ' ἄλλα καὶ πίνειν οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη, πάντας ἐκράτει, καὶ ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι·

ἀναγκάζω	逼迫；[+双宾] 迫使(某人)做(某事) *I compel, persuade*
ἀπο-λαμβάνω	拿到，找回；归还；隔开 *I take away, cut off, regain*
— λαμβάνω, λήψομαι, ἔλαβον, εἴληφα, εἴλημμαι, ἐλήφθην 拿 *I take*	
ἀσιτέω	[σιτέω] 不吃食物，禁食，绝食 *I fast, abstain from food*
καρτερέω	[καρτερός 强大的，坚忍的] 坚持，忍耐 *I am firm, endure*
ἀπο-λαύω	享受；得到利益 *I enjoy, profit from*
εἰμί	是，存在 *I am*
πίνω	喝，饮 *I drink*
— πίνω, πίομαι, ἔπιον, πέπωκα, πέπομαι, ἐπόθην	
ἐθέλω	愿意，愿望 *I wish*
— ἐθέλω, ἐθελήσω, ἠθέλησα, ἠθέληκα, --, --	
μεθύω	喝醉 *I am drunk*
κρατέω	变强大，统治；超过；盛行 *I am strong, rule, prevail over, surpass*
ὁράω	看 *I see*
— ὁράω, ὄψομαι, εἶδον, ἑώρακα, ὦμμαι, ὤφθην	
δοκέω	设想，看来是 *I seem*
— δοκέω, δόξω, ἐδόξα, δεδόκηκα, δεδόκημαι, ἐδοκήθην	

请对下列词汇进行词形分析

ἀναγκασθείημεν
ἀποληφθέντες
ἀσιτεῖν
ἦσαν
καρτερεῖν
ἀπολαύειν
πίνειν
ἐθέλων
ἀναγκασθείη
ἐκράτει
μεθύοντα
ἑώρακεν

3. πρὸς δὲ αὖ τὰς τοῦ χειμῶνος καρτερήσεις -- δεινοὶ γὰρ αὐτόθι χειμῶνες -- θαυμάσια εἰργάζετο τά τε ἄλλα, καί ποτε ὄντος πάγου οἵου δεινοτάτου, καὶ πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν ἤ, εἴ τις ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ

ἀρναχίδας, οὗτος δ' ἐν τούτοις ἐξῄει ἔχων ἱμάτιον μὲν τοιοῦτον οἷόνπερ καὶ πρότερον εἰώθει φορεῖν, ἀνυπόδητος δὲ διὰ τοῦ κρυστάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι. οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς καταφρονοῦντα σφῶν.

ἐργάζομαι 工作；做；举行，完成 *I work, do, perform, accomplish*

εἰμί 是，存在 *I am*

ἔξ-ειμι [*ἐκ, εἶμι*] 从……走出去；结束 *I go out, come to an end*

ἀμφι-έννυμι 围上，穿上(衣服)；[中动] 自己穿上 *I put on, dress myself in*

— *ἀμφι-έννυμι, ἀμφιέσω, ἠμφίεσα, --, ἠμφίεσμαι, ἠμφιέσθην*

ὑπο-δέω 从下面捆上；[中动] 把鞋带捆在腿上，穿鞋 *I bind under, put on shoes*

— *δέω, δήσω, ἔδησα, δέδεκα, δέδεμαι, ἐδέθην* 拴，捆，绑 *I bind*

ἐν-ελίττω (*ἐν-ελίσσω*)卷进，裹进，包进 *I wrap up in*

— *ἑλίττω* (*ἑλίσσω, ἐλίσσω*), *ἑλίξω, εἵλιξα, ἐλήλιγμαι, --, εἱλίχθην* 弯曲，盘绕 *I turn around*

ἔχω 有 *I have*

— *ἔχω, ἕξω, ἔσχον, ἔσχηκα, -έσχημαι, --*

ἔθω 惯于，习惯于 *I am accustomed*

—其“现完 2” *εἴωθα* 的时间含义相当于“现在时”，“过完 2” *εἰώθη* 相当于“未完”

φορέω [*φέρω* 的反复动词] 常带；经常穿；具有 *I bear/carry constantly, have*

πορεύω 带过去，供应；行走，前进 *I bring, convey; go, march*

ὑπο-βλέπω 斜着眼睛看；藐视 *I look askance*

— *βλέπω, βλέψω, ἔβλεψα, βέβλεφα, βέβλεμμαι, ἐβλέφθην* 看，瞧 *I look, see*

κατα-φρονέω 轻视，藐视 *I despise, disdain*

— *φρονέω* 有思想，理解；注意，考虑 *I think, understand*

请对下列词汇进行词形分析

δοκεῖ

ἔσεσθαι

εἰργάζετο

ὄντος

ἐξιόντων

ἠμφιεσμένων

ὑποδεδεμένων

ἐνειλιγμένων

ἐξῄει

ἔχων

εἰώθει

φορεῖν

ἐπορεύετο

ὑποδεδεμένοι

ὑπέβλεπον

καταφρονοῦντα

4. *Καὶ ταῦτα μὲν δὴ ταῦτα·*

οἷον δ' αὖ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ

ἐκεῖ ποτὲ ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι.

ῥέζω 做，办，行 *I do, act, work, make*

— *ῥέζω, ῥέξω, ἔρεξα, --, --, ῥέχθην*

τλάω 负担，忍受；顺从，服从 *I endure*

— *τλάω, τλήσομαι, ἐτάλασσα/ ἔτλην, τέτληκα, --, --*

ἀκούω 听 *I listen, hear*

— *ἀκούω, ἀκούσομαι, ἤκουσα, ἀκήκοα, --, ἠκούσθην*

A. 请对下列词汇进行词形分析

ἔρεξε

ἔτλη

ἀκοῦσαι

B. 请写出 *ὑπο-βλέπω* 的主要形式

5. *ξυννοήσας γὰρ αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν, καὶ ἐπειδὴ οὐ προὐχώρει αὐτῷ, οὐκ ἀνίει ἀλλὰ εἱστήκει ζητῶν. καὶ ἤδη ἦν μεσημβρία, καὶ ἄνθρωποι ᾐσθάνοντο, καὶ θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν, ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε.*

συν-νοέω (*ξυν-νοέω*) 考虑，沉思 *I consider, reflect (on)*

ἵστημι 使固定，安置；站立 *I make stand, set; I stand*

— *ἵστημι, στήσω, ἔστησα/ἔστην, ἕστηκα, ἕσταμαι, ἐστάθην*

σκοπέω 观看，考虑，询问 *I look at, consider, inquire*

προ-χωρέω 前进，发展 *I go forward*

[无人称] *προχωρεῖ* 进行顺利，很顺利 *it goes on well*

ἀν-ίημι 向上送；放开，松开 *I send up, let loose, detach*

— *ἵημι,* (*ἵην*), *ἥσω, ἧκα, εἷκα, εἷμαι, ἕθην* 送走，放走 *I send*

ζητέω 寻找，追求 *I seek*

αἰσθάνομαι 感知 *I perceive*

— *αἰσθάνομαι, αἰσθήσομαι, ᾐσθόμην, --, ᾔσθημαι, --*

θαυμάζω 惊异，钦佩 *I wonder*
λέγω 说 *I say*
— λέγω, λέξω, ἔλεξα, εἴρηκα, λέλεγμαι, ἐλέχθην
φροντίζω 思考，考虑 *I think, consider*

A. 请对下列词汇进行词形分析

ξυννοήσας
εἱστήκει
σκοπῶν
προὐχώρει
ἀνίει
ζητῶν
ᾐσθάνοντο
θαυμάζοντες
ἔλεγεν
φροντίζων
ἕστηκε

B. 请填写 ἵημι 的“未完、主动”各词形

单数	复数
ἵην	

6. τελευτῶντες δέ τινες τῶν Ἰώνων, ἐπειδὴ ἑσπέρα ἦν, δειπνήσαντες — καὶ γὰρ θέρος τότε γ᾽ ἦν — χαμεύνια ἐξενεγκάμενοι ἅμα μὲν ἐν τῷ ψύχει καθηῦδον, ἅμα δὲ ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι. ὁ δὲ εἱστήκει μέχρι ἕως ἐγένετο καὶ ἥλιος ἀνέσχεν· ἔπειτα ᾤχετ᾽ ἀπιὼν προσευξάμενος τῷ ἡλίῳ.

τελευτάω 使完成；实现；死亡；完结 *I complete, come to an end, die*
εἰμί 是，存在 *I am*
δειπνέω [δεῖπνον, τό 正餐 *dinner*] 进餐 *I dine*
ἐκ-φέρω 带走，搬走 *I carry out of, carry away*
— φέρω, οἴσω, ἤνεγκα, ἐνήνοχα, ἐνήνεγμαι, ἠνέχθην
携带，带走；承受，忍耐 *I carry, bear, endure, suffer*
καθ-εύδω [κατά, εὕδω] 躺下，睡下，睡觉，休息 *I lie down, sleep*
φυλάττω（φυλάσσω） 警醒，监护，保卫 *I watch, keep guard*
— φυλάττω, φυλάξω, ἐφύλαξα, πεφύλακα, πεφύλαγμαι, ἐφυλάχθην
ἵστημι 使固定，安置；站立 *I make stand, set; I stand*
— ἵστημι, στήσω, ἔστησα/ἔστην, ἕστηκα, ἕσταμαι, ἐστάθην
γίγνομαι 产生，出现，生成，成为 *I become, come to be*

— *γίγνομαι, γενήσομαι, ἐγενόμην, γέγονα, --, --*

ἀν-έχω 举起，支持；上升；坚持 *I hold up, support; rise; persist*

— *ἔχω, ἕξω, ἔσχον, ἔσχηκα, -έσχημαι, --* 有 *I have*

οἴχομαι 常含有完成时的意思，与 *ἥκω*（已经来了）相对。意为“已经走了 *I am absent, am gone*”。

— *οἴχομαι,（ᾠχόμην）, οἰχήσομαι, ᾤχημαι, --, --, --*

*ἄπ-ειμι*② [*ἀπό, εἶμι*] 走开，离去 *I go away, leave*

προσ-εύχομαι （向神）祷告，祈祷 *I pray to/for*

请对下列词汇进行词形分析

τελευτῶντες

δειπνήσαντες

ἐξενεγκάμενοι

καθηῦδον

ἐφύλαττον

ἑστήξοι

εἱστήκει

ἐγένετο

ἀνέσχεν

ᾤχετ'

ἀπιών

προσευξάμενος

7. *Εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις· τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦναι· ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων ἢ οὗτος, τετρωμένον οὐκ ἐθέλων ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ.*

βούλομαι 意欲，愿意 *I will, wish*

— *βούλομαι, βουλήσομαι, --, βεβούλημαι, ἐβουλήθην*

ἀπο-δίδωμι 归还，报答 *I give back, return*

— *δίδωμι, δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην* 给 *I give*

δοκέω 设想，看来是 *I seem*

— *δοκέω, δόξω, ἔδοξα, δεδόκηκα, δεδόκημαι, ἐδοκήθην*

σῴζω 拯救 *I save*

— *σῴζω, σώσω, ἔσωσα, σέσωκα, σέσωσμαι, ἐσώθην*

τιτρώσκω 受伤 *I wound*

— *τιτρώσκω, τρώσω, ἔτρωσα, --, τέτρωμαι, ἐτρώθην*

ἐθέλω 愿意，愿望 *I wish*

— *ἐθέλω,（ἤθελον）, ἐθελήσω, ἠθέλησα, ἠθέληκα, --, --*

ἀπο-λείπω　　留下，失去，放弃 *I leave, lose, relinquish*
συν-διασῴζω　　帮助拯救，帮助保全(城邦) *I help in preserving*

请对下列词汇进行词形分析

βούλεσθε
ἀποδοῦναι
ἔδοσαν
ἔσωσεν
τετρωμένον
ἐθέλων
ἀπολιπεῖν
συνδιέσωσε

8. *καὶ ἐγὼ μέν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς στρατηγούς, καὶ τοῦτό γέ μοι οὔτε μέμψῃ οὔτε ἐρεῖς ὅτι ψεύδομαι· ἀλλὰ γὰρ τῶν στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν.*

κελεύω　　命令，吩咐，恳求 *I order, bid, beseech*
δίδωμι　　给 *I give*
— δίδωμι, δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην
μέμφομαι　　指责，谴责 *I blame, reproach*
— μέμφομαι, μέμψομαι, ἐμεμψάμην, --, --, ἐμέμφθην
εἴρω　　说 *I say*
— εἴρω, ἐρῶ, εἶπον, εἴρηκα, εἴρημαι, ἐρρήθην
ψεύδω　　用假话欺骗，欺哄 *I cheat by lies*
　　[异态] ψεύδομαι 说假话，撒谎 *I lie*
ἀπο-βλέπω　　目光转而专注于(某物)，注视；尊重 *I look at, regard*
βούλομαι　　意欲，愿意 *I will, wish*
— βούλομαι, βουλήσομαι, --, --, βεβούλημαι, ἐβουλήθην
γίγνομαι　　产生，出现，生成，成为 *I become, come to be*
— γίγνομαι, γενήσομαι, ἐγενόμην, γέγονα, --, --
λαμβάνω　　拿，抓住 *I take*
— λαμβάνω, λήψομαι, ἔλαβον, εἴληφα, εἴλημμαι, ἐλήφθην

请对下列词汇进行词形分析

ἐκέλευον
διδόναι
μέμψῃ
ἐρεῖς

ψεύδομαι

ἀποβλεπόντων

βουλομένων

ἐγένου

λαβεῖν

9. *ἔτι τοίνυν, ὦ ἄνδρες, ἄξιον ἦν θεάσασθαι Σωκράτη, ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπεδον· ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα. ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν εὐθὺς παρακελεύομαί τε αὐτοῖν θαρρεῖν, καὶ ἔλεγον ὅτι οὐκ ἀπολείψω αὐτώ.*

θεάομαι	观看，注视 *I behold, observe*
— θεάομαι, θεάσομαι, ἐθεασάμην, τεθέαμαι, --, ἐθεάθην	
ἀνα-χωρέω	回(家，城)，(从战场)退去，撤退 *I retire, retreat, withdraw*
τυγχάνω	碰巧，偶然碰到，遇见(某人)；取得 *I happen (to), meet, get*
— τυγχάνω, τεύξομαι, ἐτύχησα/ἔτυχον, τετύχηκα, --, --	
παρα-γίγνομαι	在附近；帮助；(事物)来临 *I am present, help, happen*
ἔχω	有 *I have*
— ἔχω, ἕξω, ἔσχον, ἔσχηκα, -έσχημαι, --	
σκεδάννυμι (σκεδαννύω)	(人群)分散；[被动](兵队)溃散 *I scatter, am scattered*
— σκεδάννυμι, σκεδάσω, ἐσκέδασα, --, ἐσκεδασμαι, ἐσκεδάσθην	
περι-τυγχάνω	遇上，碰上；(灾难)临到(某人头上) *I fall in with, encounter*
εἴδω	看 *I see*
— εἴδω, εἴσομαι, εἶδον, οἶδα(知道 *I know*), --, --	
παρα-κελεύομαι	劝告；鼓励 *I exhort, encourage*
θαρρέω (θαρσέω)	有勇气，有信心 *I am bold, courageous, confident*
λέγω	说 *I say*
— λέγω, λέξω, ἔλεξα/εἶπον, εἴρηκα, λέλεγμαι, ἐλέχθην	
ἀπο-λείπω	留下，失去，放弃 *I leave, lose, relinquish*

请对下列词汇进行词形分析

θεάσασθαι

ἀνεχώρει

ἔτυχον

παραγενόμενος

ἔχων

ἐσκεδασμένων

περιτυγχάνω

ἰδών

παρακελεύομαι

θαρρεῖν

ἔλεγον

ἀπολείψω

10. ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτιδαίᾳ· αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦ διὰ τὸ ἐφ' ἵππου εἶναι· πρῶτον μὲν ὅσον περιῆν Λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοιγε ἐδόκει, ὦ Ἀριστόφανες, τὸ σὸν δὴ τοῦτο, καὶ ἐκεῖ διαπορεύεσθαι ὥσπερ καὶ ἐνθάδε, "βρενθυόμενος καὶ τὠφθαλμὼ παραβάλλων", ἠρέμα παρασκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους, δῆλος ὢν παντὶ καὶ πάνυ πόρρωθεν, ὅτι εἴ τις ἅψεται τούτου τοῦ ἀνδρός, μάλα ἐρρωμένως ἀμυνεῖται.

θεάομαι 观看，注视 *I behold, observe*

— θεάομαι, θεάσομαι, ἐθεασάμην, τεθέαμαι, --, ἐθεάθην

εἰμί 是，存在 *I am*

περί-ειμι① [περί, εἰμί] 超过，胜过，幸存 *I am superior, surpass, survive*

δοκέω 设想，看来是 *I seem*

— δοκέω, δόξω, ἔδοξα, δεδόκηκα, δεδόκημαι, ἐδοκήθην

δια-πορεύω 带领；经过，穿过，度过 *I carry over/through*

βρενθύομαι 自高自大，趾高气扬 *I bear myself haughtily, I swagger*

παρα-βάλλω 扔在旁边；互相比较 *I throw beside, compare*

— τὠφθαλμὼ παραβάλλειν 斜着眼看 *I cast my eyes askance*

παρα-σκοπέω 斜看，斜视 *I give a sidelong glance at*

ἅπτω 接触，拴上，使依附在(某物上)；着火 *I touch, fasten, kindle*

— ἅπτω, ἅψω, ἧψα, ἧμμαι, --, ἥφθην

ἀμύνω (ἀμυνέω) [+与] 防守，挡住；保卫自己 *I keep off, defend, defend myself*

请对下列词汇进行词形分析

ἐθεασάμην

ἐδόκει

διαπορεύεσθαι

βρενθυόμενος

παραβάλλων

περισκοπῶν

ἅψεται

ἀμυνεῖται

11. διὸ καὶ ἀσφαλῶς ἀπῄει καὶ οὗτος καὶ ὁ ἑταῖρος· σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας διώκουσι.

ἄπ-ειμι② [ἀπό, εἶμι] 走开，离去 *I go away, leave*

διά-κειμαι	被置于某种境况 *I am in a certain condition*
ἅπτω	接触，拴上，使依附在(某物上)；着火 *I touch, fasten, kindle*
— ἅπτω, ἅψω, ἧψα, ἧμμαι, --, ἥφθην	
φεύγω	逃跑 *I flee*
— φεύγω, φεύξομαι, ἔφυγον, πέφευγα, --, --	
διώκω	追求，追猎，追踪 *I pursue*

请对下列词汇进行词形分析

ἀπῄει

διακειμένων

ἅπτονται

φεύγοντας

διώκουσι

【课　文】

ΕΠΙ ΣΤΡΑΤΕΙΑΣ
(柏拉图《会饮篇》219E-221C)

Καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο κοινὴ καὶ συνεσιτοῦμεν ἐκεῖ. πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων. ὁπότ' ἀναγκασθείημεν ἀποληφθέντες που, οἷα δὴ ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν· ἔν τ' αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ' ἦν τά τ' ἄλλα καὶ πίνειν οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη, πάντας ἐκράτει, καὶ ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι· πρὸς δὲ αὖ τὰς τοῦ χειμῶνος καρτερήσεις -- δεινοὶ γὰρ αὐτόθι χειμῶνες -- θαυμάσια εἰργάζετο τά τε ἄλλα, καί ποτε ὄντος πάγου οἵου δεινοτάτου, καὶ πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν ἤ, εἴ τις ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ ἀρνακίδας, οὗτος δ' ἐν τούτοις ἐξῄει ἔχων ἱμάτιον μὲν τοιοῦτον οἷόνπερ καὶ πρότερον εἰώθει φορεῖν, ἀνυπόδητος δὲ διὰ τοῦ κρυστάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι. οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς καταφρονοῦντα σφῶν.

Καὶ ταῦτα μὲν δὴ ταῦτα·

οἷον δ' αὖ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ

ἐκεῖ ποτε ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι. ξυννοήσας γὰρ αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν, καὶ ἐπειδὴ οὐ προυχώρει αὐτῷ, οὐκ ἀνίει ἀλλὰ εἱστήκει ζητῶν. καὶ ἤδη ἦν μεσημβρία, καὶ ἄνθρωποι ᾐσθάνοντο, καὶ θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν, ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε. τελευτῶντες δέ τινες τῶν Ἰώνων, ἐπειδὴ ἑσπέρα ἦν, δειπνήσαντες

— καὶ γὰρ θέρος τότε γ' ἦν — χαμεύνια ἐξενεγκάμενοι ἅμα μὲν ἐν τῷ ψύχει καθηῦδον, ἅμα δὲ ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι. ὁ δὲ εἱστήκει μέχρι ἕως ἐγένετο καὶ ἥλιος ἀνέσχεν· ἔπειτα ᾤχετ' ἀπιὼν προσευξάμενος τῷ ἡλίῳ.

Εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις· τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦναι· ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων ἢ οὗτος, τετρωμένον οὐκ ἐθέλων ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ. καὶ ἐγὼ μέν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς στρατηγούς, καὶ τοῦτό γέ μοι οὔτε μέμψῃ οὔτε ἐρεῖς ὅτι ψεύδομαι· ἀλλὰ γὰρ τῶν στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν. ἔτι τοίνυν, ὦ ἄνδρες, ἄξιον ἦν θεάσασθαι Σωκράτη, ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπεδον· ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα. ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν εὐθὺς παρακελεύομαί τε αὐτοῖν θαρρεῖν, καὶ ἔλεγον ὅτι οὐκ

ἀπολείψω αὐτώ. ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτιδαίᾳ· αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦ διὰ τὸ ἐφ' ἵππου εἶναι· πρῶτον μὲν ὅσον περιῆν Λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοιγε ἐδόκει, ὦ Ἀριστόφανες, τὸ σὸν δὴ τοῦτο, καὶ ἐκεῖ διαπορεύεσθαι ὥσπερ καὶ ἐνθάδε, "βρενθυόμενος καὶ τὠφθαλμὼ παραβάλλων", ἠρέμα παρασκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους, δῆλος ὢν παντὶ καὶ πάνυ πόρρωθεν, ὅτι εἴ τις ἅψεται τούτου τοῦ ἀνδρός, μάλα ἐρρωμένως ἀμυνεῖται. διὸ καὶ ἀσφαλῶς ἀπῄει καὶ οὗτος καὶ ὁ ἑταῖρος· σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας διώκουσι.

【词 汇】

名词

ἀξίωμα, -ατος, τό	有价值的事物，身价，名誉，地位；认为合适的事物；[哲学，数学]自明之理，公理 *that of which one is thought worthy, reputation, rank, position; that which is thought fit; a self-evident theorem, anaxiom* (AXIOM 公理)
ἀριστεῖα, τά	[复] 因英勇作战而得到的奖赏，英雄奖 *the prize of the best and bravest*
ἀρνακίς, -ίδος, ἡ	[雄狮型(变格同 *ἐλπίς*)] 羊皮革 *sheepskin*
ἔλεγχος, ὁ	[*ἐλέγχω*] 考验，检查；反驳，反证 *cross-examining, testing; refutation*
ἑσπέρα, ἡ	黄昏，傍晚 *evening*
ἑταῖρος, ὁ	伙伴，同伴 *comrade, companion*

εὐωχία, ἡ	大吃大喝 *feasting*
ἕως, ἡ	[阿提卡型] 清晨，黎明 *dawn*
θέρος, -εος, τό	热天，夏天 *summer* (THERMOMETER 温度计)
ἱμάτιον, τό	外衣，外套 *garment, cloak*
καρτέρησις, -εως, ἡ	[*καρτερέω*] 坚持，忍耐 *endurance, steadfast*
κρύσταλλος, ὁ	冰，冰块 *ice*
μάχη, ἡ	战争，战役 *war, battle*
μεσημβρία, ἡ	日中，正午 *midday*
ὅπλον, τό	工具 *tool* [复] 武器，铠甲 *weapon, armour*
ὀφθαλμός, -οῦ, ὁ	[*ὀφθῆναι* (*ὁράω*)] 眼睛 *eye* (OPHTHALMOLOGY 眼科学)
πάγος, ὁ	冰，霜 *ice, frost*
πῖλος, ὁ	羊毛毡 *felt, felt covering*
πόλεμος, ὁ	战争，战斗，战役 *war, fight, battle*
πόνος, ὁ	工作，劳苦；痛苦；劳动的成果 *toil, drudgery, suffering, result of labour*
στρατεία, ἡ	出征，远征；从军 [复]兵役 *expedition, campaign; military service* (STRATEGY 战略)
στρατηγός, ὁ	[*στρατός, ἄγω*] 将军 *general*
στρατό-πεδον, τό	[*στρατός, πέδον*] 军队(驻扎处)，营地 *the ground on which soldiers are encamped, a camp*
φόβος, ὁ	恐惧，惧怕 *panic fear, terror*
φυγή, ἡ	逃跑，溃逃 *flight*
χαμεύνιον, τό	地上的草床，地铺 *a bed on the ground, pallet-bed*
χειμών, -ῶνος, ὁ	[野兽型] 严冬，冬天；(精神上的)激烈痛苦 *winter, frost, distress*

代词

οἷος, οἵα, οἷον	[关系代词 *ὅς* 的形容词] 这样的，那样的，什么样的 *of what kind, such as*
— *οἷον, οἷα*	[中作副] 像似，例如 *as, like, just as, for instance*
ὅσος, ὅση, ὅσον	像……一样的，和……一样多的 *as much as, as many as*
τοιοῦτος, τοιαύτη, τοιοῦτο	[*τοι, οὗτος*] 这样的，这种性质的 *of such kind* or *quality*

形容词

ἀν-υπόδητος, -ον	[*α, ὑποδέω*] 不穿鞋的，赤脚的 *unshod, barefoot*
ἄξιος, -α, -ον	值(多少)的，有价值的；合适的 *worth as much as, worthy of, deserving* (AXIOLOGY 价值论)
ἅ-πας, ἅπασα, ἅπαν	[*α, πᾶς*] [复] 全部，总共 *all together*; [单] = *πᾶς, πάσα, πᾶν*
δίκαιος, -α, -ον	[*δίκη*] 公正的，合法的 *just*
— *δίκαιός εἰμι*	我理应……，我有权 *I have reason to, I have a right to*

ἔμ-φρων, -ον	[ἐν, φρήν] 有知觉的，头脑清醒的，有理性的 *sensible, rational, prudent*
εὐθύς, εὐθεία, εὐθύ	直的，直率的，正直的 *straight, direct, honest*
— εὐθύς	[副] 立即，立刻 *at once*
ἑωθινός, -ή, -όν	[ἕως] 清早的，黎明的 *early in the morning*
	例如：ἐξ ἑωθινοῦ (= ἕωθεν) 从清晨起 *at dawn*
ἥττων, ἧττον	较小的，较差的
θαυμάσιος, -α, -ον	令人惊异的，令人钦佩的，卓越的 *marvellous, admirable, excellent*
θαυμαστός, -ή, -όν	令人惊异的；[褒]可钦佩的；[贬]离奇的 *marvellous, admirable, strange*
καρτερός, -ά, -όν	强大的，勇敢的；坚定的，坚忍的 *strong, valiant, steadfast, enduring*
κοινός, -ή, -όν	普通的，共同的，公众的 *common, public*
— κοινῇ	[κοινός 的"阴性单数与格"，用作副词] 与 κοινῶς 同义，意为"共同地，一致地 *in common, publicly*"
μόνος, -η, -ον	唯一的，仅仅的 *alone, only*
— μόνον	[中作副] 唯一地，仅仅 *alone, only*
πολεμίος, -α, -ον	[πόλεμος] 有关战争的；敌对的，敌视的 *of* or *belonging to war*; *of* or *like an enemy, hostile*
πρό-θυμος	[πρό, θυμός] 热衷于(做)……的；怀善意的 *ready, eager*; *well-disposed*
πρότερος, -η, -ον	在前的，较早的
ῥᾴων, -ον	[ῥᾴδιος 的比] 更容易的 *easier*
— ῥᾷον	[中作副] 更容易地 *more easily*

副词

ἅμα	[副] 立刻，同时 *at once, at the same time*; [介] [+与] 在……的同时，和……一起 *at the same time with, together with*
ἀσφαλῶς	[ἀ-σφαλής 的副词] 安全地，确实地 *in safety, with certainty*
αὐτίκα	立即；一会儿；例如 *straight away, instantly, for instance*
αὐτόθι	当场，在这儿 *on the spot, there*
ἐκεῖ	那里，到那里 *there, to there*
ἔνδοθεν	[+属] 从里面，在里面的 *from within, within*
ἐνθάδε	这里，到这里；在这种情况下 *here, hither*; *in this case* or *state*
ἐνταῦθα	这里，到这里；在那时 *here, hither*; *at the very time, then*
ἐρρωμένως	强壮地，结实地 *strongly*
ἔτι	仍然，还；此外，更 *yet, still*; *besides, moreover*
ἕωθεν	[ἕως] 从黎明起，在清晨 *at dawn*
ἤδη	已经，立即，从此 *already, now, forthwith*

ἠρέμα（元音前为 ἠρέμας）温和地，平静地 *quietly, gently*

κάλλιον [καλός 的比 καλλίων 的中作副] 更好地 *better*

μάλα 十分，非常，很 *much, very much, wholly*

— 比 μᾶλλον 最 μάλιστα

πάνυ (1) 完全，非常 *entirely, very much*；(2)（回答语）当然 *certainly*

πόρρωθεν 从远处 *from afar*

ποτέ [逆附读词] 在某时，某次，一度，从前 *at some time, ever, once*

— 比较 πότε 几时？何时？*When?*

πού [逆附读词] 某地，某处 *somewhere*

— 比较 ποῦ 哪里？怎样？*Where? How?*

πρότερος, -η, -ον 较前的，较早的 *before, former*

— πρότερον [中作副] 较前，较早 *before, earlier*

προτροπάδην 头朝前 *turned forward, headlong* 例如：προτροπάδην φεύγειν 急匆匆逃走 *to flee in headlong*

πώποτε (1) 尚，还 *ever yet*；(2) 常和否定词连用 *mostly with negatives*

σχεδόν 近，接近；将近；几乎 *near, close, nearly, almost*

τοίνυν 于是，所以；而且，此外 *so then, therefore; moreover*

τότε 那时候，当时，从前 *then, at that time, formerly*

— 比较 τοτέ 有时，时而 *at times, now and then*

连词

διό [διά, ὅ] 为此，因此 *wherefore, therefore*

ἐπειδή [ἐπεί 的加强形式] (1)（表示时间）在……以后，自从……以来，每当 *after that, since, when, whenever*；(2)（表示原因）既然，因为 *since, seeing that*

ἔπειτα [ἐπί, εἶτα] 然后；因此 *afterwards, therefore*

ὁπότε 当，当……时；既然，因为 *when, whenever, because, since*

ὅτε 当，当……的时候；由于……缘故，既然 *when, whenever, because of, since*

介词

μέχρι [+属] 直到，到……为止 *until, as far as*

习语与词组

μετὰ ταῦτα 此后 *after these things*

οὐ μόνον... ἀλλὰ καί... 不但…… 而且…… *not only... but also...*

【注　释】

1. *Καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο κοινῇ καὶ συνεσιτοῦμεν ἐκεῖ. πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων.*

1.1 *Καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο κοινῇ καὶ συνεσιτοῦμεν ἐκεῖ.* —

ἡμῖν：这里与格表示这场战役与"我们"直接有关(*S1486*)，*κοινῇ* 进一步说明这一点。

ἐγένετο：*γίγνομαι* 的"不过、主动、直陈、3 单"，这里意为"*there was*"。

συνεσιτοῦμεν：*συσσιτέω* 的"未完、主动、直陈、1 复"。

1.2 *πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων.* —

τοῖς πόνοις：*ὁ πόνος* 的"复数与格"，属于表示"方式"的与格(dative of manner)，意为"在(忍耐)劳苦方面 *in (bearing) hardships*"。

περιῆν：*περί-ειμι*①的"未完、主动、直陈、3 单"，后跟表示"比较"的属格 *ἐμοῦ* 和 *τῶν ἄλλων ἁπάντων*。

2. *ὁπότ' ἀναγκασθείημεν ἀποληφθέντες που, οἷα δὴ ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν· ἔν τ' αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ' ἦν τά τ' ἄλλα καὶ πίνειν οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη, πάντας ἐκράτει, καὶ ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι·*

2.1 *ὁπότ' ἀναγκασθείημεν ἀποληφθέντες που, οἷα δὴ ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν·* —

ὁπότ'= *ὁπότε*，尾元音省略

ἀναγκασθείημεν：*ἀναγκάζω* 的"不过、被动、祈愿、1 复"。

ἀποληφθέντες：*ἀπο-λαμβάνω* 的"过去时被动分词、阳性复数主格"。

οἷα δὴ ἐπὶ στρατείας：*δὴ* 加强 *οἷα*(这样的事 *such kind of thing*)的语气，意为"在战争中这类事很常见"。

2.2 *μόνος ἀπολαύειν οἷός τ' ἦν τά τ' ἄλλα καὶ πίνειν οὐκ ἐθέλων,* —

参考译文："只有他能够充分享受，但他不喜欢喝酒 ***he alone was able to enjoy it to the full, but he didn't like to drink***"，*καὶ οὐ* 在此处相当于"***but not***"(***S2871***)。

2.3 *ὃ πάντων θαυμαστότατον*："最令人惊奇的是 *which (is) most surprising of all*"。

Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων："没有人曾见过苏格拉底喝醉 *no man has ever yet seen Socrates drunk*"，*οὐδεὶς... ἀνθρώπων* = "*no one of men*"。

2.4 *τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι·* —

τούτου："关于这一点 *of this*"，表示"联系"的属格(*S1381*)。

ἔσεσθαι：*εἰμί* 的将来时主动不定式，在 *δοκέω*, *οἴομαι* 等动词所引导的间接引语里的动词一般总采用不定式形式(*S2018*)。

3. *πρὸς δὲ αὖ τὰς τοῦ χειμῶνος καρτερήσεις -- δεινοὶ γὰρ αὐτόθι χειμῶνες -- θαυμάσια εἰργάζετο τά τε ἄλλα, καί ποτε ὄντος πάγου οἵου δεινοτάτου, καὶ πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν ἤ, εἴ τις ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ ἀρνακίδας, οὗτος δ' ἐν τούτοις ἐξῄει ἔχων ἱμάτιον μὲν τοιοῦτον οἷόνπερ καὶ πρότερον εἰώθει φορεῖν,*

ἀνυπόδητος δὲ διὰ τοῦ κρυστάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι. οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς καταφρονοῦντα σφῶν.

3.1 *πρὸς... τὰς τοῦ χειμῶνος καρτερήσεις*：“关于对严冬的忍耐力方面 ***in regard to... the endurance of winter***”，这里采用复数形式 *τάς καρτερήσεις* 指的是叙述者口中的“我们大家”对严冬的忍耐力，定冠词可用来指称特定的人或事物(*S1133*)。

3.2 *δεινοὶ γὰρ αὐτόθι χειμῶνες*：“因为那里的冬天很寒冷 ***for winters there (are) aweful***”，插入语。

3.3 *εἰργάζετο*：*ἐργάζομαι* 的“未完、主动、直陈、3 单”，宾语为 *θαυμάσια τά ἄλλα*(其他非凡的业绩 ***the other marvellous feats***)，*θαυμάσια* 是 *θαυμάσιος* 的“中性复数宾格”，形容词中性常常用作名词。

3.4 *καί ποτε ὄντος πάγου οἵου δεινοτάτου*：“而某一个特别寒冷的(冬天) ***and there being a peak of such kind of aweful (winter)***”，这是一个“独立属格”结构(*S2070*)。

3.5 *πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν ἤ, εἴ τις ἐξίοι,* —

参考译文：“所有的人要么待在里头不外出，要么，如果有人想要外出，***or all men not going out from within, or if someone might go out***”。

3.6 *οὗτος δ' ἐν τούτοις ἔχων ἱμάτιον...* —

ἐν τούτοις 的后面省略了 *χειμῶσι*。

3.7 *ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι* —

参考译文：“他比其他穿鞋的人行走得更容易。***He walked more easily than the other men who wearing shoes.***”

3.8 词形辨析—

ἐξιόντων：*ἔξ-ειμι* 的“现在时主动分词、阳性复数属格”。

ἐξίοι：*ἔξ-ειμι* 的“现、主动、祈愿、3 单”。

ἐξῄει：*ἔξ-ειμι* 的“未完、主动、直陈、3 单”。

ἠμφιεσμένων：*ἀμφι-έννυμι* 的“现完中动分词、阳性复数属格”。

ὑποδεδεμένων：*ὑπο-δέω* 的“现完中动分词、阳性复数属格”。

ἐνειλιγμένων：*ἐν-ελίττω* 的“现完中动分词、阳性复数属格”。

θαυμαστά：在这里相当于一个副词，修饰 *ὅσα*(*as many as*)，指的是“穿上尽可能多(*ὅσα*)的衣服”，鼓鼓囊囊地看上去“很夸张”(令人惊讶 *θαυμαστά*)。

4. *Καὶ ταῦτα μὲν δὴ ταῦτα·*

οἷον δ' αὖ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ

ἐκεῖ ποτε ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι.

4.1 *καὶ ταῦτα μὲν δὴ ταῦτα*：是一句习语，意为“够了，往下说吧 ***so much for that***”。

ἔρεξε: *ῥέζω* 的“不过、主动、直陈、3 单”。

4.2 *οἷον δ' αὖ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ* —

语出荷马史诗《奥德赛》，第四卷 242 行，原诗句为：

ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ

δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί.

参考译文："(但我只说)在你们阿开奥斯人忍受苦难的特洛伊国土上，这位勇士所做(并承受)的一件事情。but what a thing was this which that mighty man wrought and endured in the land of the Trojans, where you Achaeans suffered woes!"

4.3 *ὡς καταφρονοῦντα σφῶν*："独立宾格"结构(*S2078*)

4.4 词形辨析—

ὑπέβλεπον：*ὑπο-βλέπω* 的"未完、主动、直陈、3 复"。

καταφρονοῦντα：*κατα-φρονέω* 的"现在时主动分词、阳性单数宾格"。

σφῶν：人称代词，第三人称复数属格。

ἔτλη：*τλάω* 的"不过 2、主动、直陈、3 单"。

— *τλάω, τλήσομαι, ἐτάλασσα/ ἔτλην, τέτληκα, --, --*

τόδ' = *τόδε*，这里为"中性单数宾格"，*ὅδε, ἥδε, τόδε*(这个 *this*)一般用来指下文要提到的事物。

4.5 *ἐπὶ στρατείας*："在军队服役 *on military service*"，有的版本写作 *ἐπὶ στρατιᾶς*。

5. *ξυννοήσας γάρ αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν, καὶ ἐπειδὴ οὐ προὐχώρει αὐτῷ, οὐκ ἀνίει ἀλλὰ εἱστήκει ζητῶν. καὶ ἤδη ἦν μεσημβρία, καὶ ἄνθρωποι ᾐσθάνοντο, καὶ θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν, ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε.*

5.1 *καὶ ἐπειδὴ οὐ προὐχώρει αὐτῷ, οὐκ ἀνίει ἀλλὰ εἱστήκει ζητῶν* —

参考译文："而当他进展不顺利时，他不会放弃，而是站在那里继续沉思 ***and when he did not go on well, he did not give up but stood (there) seeking***"。

5.2 *Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε*："苏格拉底从早晨起站着思考问题。*Socrates has stood from morning pondering something.*"

5.3 词形辨析—

υννοήσας：*συν-νοέω* 的"过去时主动分词、阳性单数主格"。

εἱστήκει：*ἵστημι* 的"过完、主动、直陈、3 单"，在"现完"词干 *ἑστα-*的前面加增音 *ε*，再加人称词尾，即成为 *εἱστήκη, εἱστήκης, εἱστήκει, κτλ*。

σκοπῶν：*σκοπέω* 的"现在时主动分词、阳性单数主格"。

προὐχώρει：*προ-χωρέω* 的"未完、主动、直陈、3 单"，习惯写成元音融合的样子。

ἀνίει：*ἀν-ίημι* 的"未完、主动、直陈、3 单"。

ᾐσθάνοντο：*αἰσθάνομαι* 的"未完、主动、直陈、3 复"。

θαυμάζοντες：*θαυμάζω* 的"现在时主动分词、阳性复数主格"。

ἄλλος ἄλλῳ："一个对另一个 *one to another*"。

6. *τελευτῶντες δέ τινες τῶν Ἰώνων, ἐπειδὴ ἑσπέρα ἦν, δειπνήσαντες — καὶ γὰρ θέρος τότε γ' ἦν — χαμεύνια ἐξενεγκάμενοι ἅμα μὲν ἐν τῷ ψύχει καθηῦδον, ἅμα δὲ ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι. ὁ δὲ εἱστήκει μέχρι ἕως ἐγένετο καὶ ἥλιος ἀνέσχεν· ἔπειτα ᾤχετ' ἀπιὼν προσευξάμενος τῷ ἡλίῳ.*

6.1 *ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι*: "他们看他是否整夜都站着。*They watched him if he might stand for the whole night.*"

τὴν νύκτα: 宾格可表示持续的时间。

6.2 词形辨析—

τελευτῶντες: *τελευτάω* 的"现在时主动分词、阳性复数主格"。

ᾤχετ' = *ᾤχετο* 尾元音省略，是 *οἴχομαι* 的"未完、主动、3 单"。

7. *Εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις· τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦναι· ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων ἢ οὗτος, τετρωμένον οὐκ ἐθέλων ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ.*

7.1 *Εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις·*

βούλεσθε 后省略了 *ἀκοῦσαι*。

ἐν ταῖς μάχαις: "(苏格拉底)在战斗中(的故事)"，与前面的"在军营里(的故事)"(*ἐπὶ στρατείας*)相对应。

7.2 *ἀποδοῦναι*: *ἀπο-δίδωμι* 的过去时主动不定式。

τἀριστεῖα = *τὰ ἀριστεῖα*

οὐδεὶς ἄλλος... ἢ οὗτος: "除了他……没有人 *nobody else than he...*"

7.3 *συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ*: "帮助把我与武器装备一起救出"。

συνδιέσωσε: *συν-διασῴζω* 的"不过、主动、直陈、3 单"。

8. *καὶ ἐγὼ μέν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς στρατηγούς, καὶ τοῦτό γέ μοι οὔτε μέμψῃ οὔτε ἐρεῖς ὅτι ψεύδομαι· ἀλλὰ γὰρ τῶν στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν.*

8.1 *αὐτὸς προθυμότερος ἐγένου...* —

αὐτός 强调"(苏格拉底)你自己"，*ἐγένου* 在此处相当于一个系动词，意为"*(you) were*"。

8.2 *μέμψῃ*: *μέμφομαι* 的"将、主动、直陈、2 单。"

προθυμότερος: *πρό-θυμος* 的比较级。

ἐγένου: *γίγνομαι* 的"不过、主动、直陈、2 单"。

λαβεῖν: *λαμβάνω* 的过去时主动不定式

9. *ἔτι τοίνυν, ὦ ἄνδρες, ἄξιον ἦν θεάσασθαι Σωκράτη, ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπεδον· ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα. ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν εὐθὺς παρακελεύομαί τε αὐτοῖν θαρρεῖν, καὶ ἔλεγον ὅτι οὐκ ἀπολείψω αὐτώ.*

ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα καὶ Λάχης—

ἀνεχώρει 的主语是 *οὗτος*。

αὐτώ: *αὐτός* 的阳性双数宾格。

10. *ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτιδαίᾳ· αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἢ διὰ τὸ ἐφ' ἵππου εἶναι· πρῶτον μὲν ὅσον περιῆν Λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοιγε ἐδόκει, ὦ Ἀριστόφανες, τὸ σὸν δὴ τοῦτο, καὶ ἐκεῖ διαπορεύεσθαι ὥσπερ καὶ ἐνθάδε, "βρενθυόμενος καὶ τὠφθαλμὼ παραβάλλων", ἠρέμα παρασκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους, δῆλος ὢν παντὶ καὶ πάνυ πόρρωθεν, ὅτι εἴ τις ἅψεται τούτου τοῦ ἀνδρός, μάλα ἐρρωμένως ἀμυνεῖται.*

τὠφθαλμὼ παραβάλλων: "斜着眼看"。

τὠφθαλμώ = *τὼ ὀφθαλμώ* 阳性双数宾格。

11. *διὸ καὶ ἀσφαλῶς ἀπῄει καὶ οὗτος καὶ ὁ ἑταῖρος· σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας διώκουσι.*

σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται,—

基本结构：*οὐδὲ ἅπτονται* + *τι τῶν οὕτω διακειμένων*

主语"他们"隐含在主动词的人称词尾里，宾语 *τι τῶν οὕτω διακειμένων* 意为"某个处于这种境况的人 *one of those who being in such condition*"。

ἀπῄει: **ἄπ-ειμι**②的"未完、主动、3 单"。

【语 法】

I. 形容词性从句(关系从句)

1. 关系代词 *ὅς, ἥ, ὅ* 首先与先行词(antecedent)的性、数保持一致，但格的形式取决于该关系代词在从句中的功能。

εἶδον τοὺς ἄνδρας ***οἳ*** *ἀφίκοντο.*

我看见那些已经到的人了。*I saw the men who arrived.*

ἀπέκτεινα τοὺς ἄνδρας ***οὓς*** *εἶδες.*

我杀了你看到的那些人。*I killed the men (whom) you saw.*

αὕτη ἐστὶν ἡ γυνὴ ***ἣν*** *ἐζητοῦμεν.*

这就是我们在找的那个女人。*This is the woman whom we were looking for.*

ὃν *γὰρ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος.* (Menander. *Sententiae 425*)

神所钟爱者早夭。*For he whom the gods love dies young.*

2. 另外四个关系代词：

(1) *ὅσπερ, ἥπερ, ὅπερ*(*ὅς, ἥ, ὅ* 的强调形式)

ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα ***ὅπερ*** *καὶ οἱ ποιηταί*

他们似乎和诗人们犯了同样的错误。*They seemed to me to be making exactly the same mistake as the poets.*

(2) *ὅστις, ἥτις, ὅτι*(不定关系代词)

ἀνελεύθερος πᾶς ***ὅστις*** *εἰς δόξαν βλέπει.*

凡渴望名誉者皆不自由。*Every man who looks to fame is unfree.*

(3) *οἷος, -α, -ον* 这样的 *of the kind that*

(4) *ὅσος, -η, -ον* 和……一样多的 *as much as, as many as*

3. 关系代词格的同化(attraction)

若关系代词是宾格,而先行词是属格或与格,则关系代词的格往往被先行词的格同化:

*Μήδων μέντοι **ὅσων*** (代替 *ὅσους*) *ἑώρακα... πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος.*

然而,在我所见过的米底亚人里,此人,也就是我的爷爷,绝对是长得最帅的。*However, of all the Medes that I have seen... this man, my grandfather, is by far the most handsome.*

注:*Μῆδος, ὁ* 米底亚人 *a Mede*。

*ἐπαινῶ σε ἐφ' **οἷς*** (代替 *ἐπὶ τούτοις ἅ*) *λέγεις.*

I praise you for what you say.

4. "冠词 + 分词",一般相当于一个关系从句

*ἀλλ', οἶμαι, **οἱ τιθέμενοι τοὺς νόμους** οἱ ἀσθενεῖς ἄνθρωποί εἰσιν καὶ οἱ πολλοί.*

但我认为那些立法者是弱者、是大众。*But, I think, those who enact the laws are the weak men and the mass of the people.*

这里的分词短语 *οἱ τιθέμενοι τοὺς νόμους* = *ἐκεῖνοι **οἳ** τίθενται τοὺς νόμους*。

II. 命令、规劝和愿望

1. 命令

用命令语气表达命令:

λέγε.	*εἰπέ.*
(你)说! *Speak!*	(你)说! *Speak!*
ποίει τοῦτο.	*λθέτω δεῦρο.*
(你)做这事! *do this!*	让他到这儿来! *Let him come here!*
χαιρόντων.	
让他们高兴吧! *Let them rejoice!*	

2. 禁止

可以用两种方式表示禁止:

"*μή* + 现在时命令语气",或"*μή* + 过去时虚拟语气"。

***μὴ ποίει** τοῦτο.* (或 ***μὴ ποιήσῃς** τοῦτο.*)

不准干这件事! *Do not do this!* (即 *Don't keep doing this!*)

可用 "*ὅπως, ὅπως μή* + 将来时直陈语气" 表示命令和禁止(一般口语中常用)。

ὅπως μοι... μὴ ἐρεῖς ὅτι ἔστι τὰ δώδεκα δὶς ἕξ.

你不准告诉我十二是二乘六。*See to it that you do not tell me that twelve is twice six.*

这里可以理解为：在 ὅπως 之前省略了 σκόπει 或 σκοπεῖτε。

3. 规劝

虚拟语气第一人称可表示规劝，否定用 μή

ἴωμεν.	*μὴ τοῦτο ποιῶμεν.*	*μαχώμεθα ἀνδρείως.*
我们走！	我们不能这么做！	让我们勇敢地战斗吧！
Let's go!	*Let's not do this!*	*Let's fight bravely!*

4. 愿望

表示对将来的愿望用祈愿语气表示，可带也可不带引导词 εἴθε 或 εἰ γάρ,否定用 μή.

εἴθ', ὦ λῷστε σύ, φίλος ἡμῖν γένοιο.

好人啊，但愿你会成为我们的朋友！*If only, you excellent fellow, you would become our friend!*

μηκέτι [= μή + ἔτι] ζῴην ἐγώ.

但愿我不再活了！*May I no longer live!*

表示对现在和过去的(未能达到的)愿望，用未完成时或不定过去时、直陈语气，引导词 εἴθε 或 εἰ γάρ 必不可少。未完成时表示现在或过去连续性的时间，不定过去时表示过去某一时刻。否定用 μή。

εἴθε τοῦτο ἐποίει.

但愿他在做这事！*If only he was doing this!*

εἰ γὰρ μὴ ἐγένετο τοῦτο.

但愿这事没发生过！*If only this had not happened!*

5. 间接命令

可用不定式表示间接命令(与英语一样)

κελεύω αὐτοὺς ἀπιέναι.

我命令他们走开。*I order them to go away.*

表示命令的动词：

κελεύω	命令 *I order*
παρακαλέω	鼓励 *I encourage*
ἀπαγορεύω	禁止 *I forbid*

下列动词跟与格和不定式：

διακελεύομαι	吩咐 *I encourage, direct*
παραινέω	劝告 *I encourage, advise*
ἀγγέλλω	送信 *I bring a message*
παραγγέλλω	下命令 *I give orders*

【练 习】

1. 英译希

The ostrich is a strange animal: for it has wings, but is not able to fly (πέτεσθαι) *with its wings. I once saw* (εἶδον) *something white lying* (κείμενον) *upon the sand: and in shape it was like an egg, but equal to a child's head: and this was the ostrich's egg. Now this beast is strong, but foolish and cowardly. For it does not come* (ἔρχεται) *to battle with its enemies, but, from fear of the danger, flies* (φεύγει). *And sometimes it has* (ἔχει) *very terrible fear, and then it thrusts* (ὠθεῖ) *its head into the sand: but the rest is not hidden: but the bird is manifest to the hunters.*

词 汇

στρουθός, ὁ/ἡ	鸵鸟 *ostrich*
ζῷον, τό	生物，动物 *living being, animal*
ψάμμος, ἡ	沙地 *sand*
μορφή, ἡ	形状 *shape*
ᾠόν, τό	蛋 *egg*
ἰσχυρός, -ά, -όν	强壮的 *strong*
ἀνόητος, -ον	怯懦的 *cowardly*
τὰ ἕτερα	其余(部分) *the rest*
κρυπτός, -ή, -όν	掩盖着的，秘密的 *hidden*
ὄρνις, ὁ/ἡ	[雄狮型] 鸟 *bird*
θηρευτής, ὁ	猎人 *hunter*
πτερόν, τό	翅膀 *wing*

2. 希译英

Ἐπεὶ δ' ἐστὶν ἡ εὐδαιμονία ψυχῆς ἐνέργειά τις κατ' ἀρετὴν τελείαν, περὶ ἀρετῆς ἐπισκεπτέον· τάχα γὰρ οὕτως ἂν βέλτιον καὶ περὶ τῆς εὐδαιμονίας θεωρήσαιμεν. δοκεῖ δὲ καὶ ὁ κατ' ἀλήθειαν πολιτικὸς περὶ ταύτην μάλιστα πεπονῆσθαι· βούλεται γὰρ τοὺς πολίτας ἀγαθοὺς ποιεῖν καὶ τῶν νόμων ὑπηκόους (παράδειγμα δὲ τούτων ἔχομεν τοὺς Κρητῶν καὶ Λακεδαιμονίων νομοθέτας, καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγένηνται)· εἰ δὲ τῆς πολιτικῆς ἐστὶν ἡ σκέψις αὕτη, δῆλον ὅτι γίνοιτ' ἂν ἡ ζήτησις κατὰ τὴν ἐξ ἀρχῆς προαίρεσιν. περὶ ἀρετῆς δὲ ἐπισκεπτέον ἀνθρωπίνης δῆλον ὅτι· καὶ γὰρ τἀγαθὸν ἀνθρώπινον ἐζητοῦμεν καὶ τὴν εὐδαιμονίαν ἀνθρωπίνην. ἀρετὴν δὲ λέγομεν ἀνθρωπίνην οὐ τὴν τοῦ σώματος ἀλλὰ τὴν τῆς ψυχῆς· καὶ τὴν εὐδαιμονίαν δὲ ψυχῆς ἐνέργειαν λέγομεν. εἰ δὲ ταῦθ' οὕτως ἔχει, δῆλον ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι πως τὰ περὶ ψυχῆς, ὥσπερ καὶ τὸν ὀφθαλμοὺς θεραπεύσοντα καὶ πᾶν σῶμα, καὶ μᾶλλον ὅσῳ τιμιωτέρα καὶ βελτίων ἡ πολιτικὴ τῆς ἰατρικῆς· τῶν δ' ἰατρῶν οἱ χαρίεντες πολλὰ πραγματεύονται περὶ τὴν τοῦ σώματος γνῶσιν. θεωρητέον δὴ καὶ τῷ πολιτικῷ περὶ ψυχῆς, θεωρητέον δὲ τούτων χάριν, καὶ ἐφ' ὅσον ἱκανῶς ἔχει πρὸς τὰ ζητούμενα· τὸ γὰρ ἐπὶ πλεῖον ἐξακριβοῦν ἐργωδέστερον ἴσως ἐστὶ τῶν προκειμένων.

词　汇

γνῶσις, -εως, ἡ	调查；认识 *a knowing, knowledge*
θεραπεύω	服侍，照料；护理，治疗 *I am an attendant, do service; take care of, cure*
ἰατρικός, -ή, -όν	有关医疗的 *of* or *for a surgeon*
— *ἡ ἰατρική*	(暗含 *τέχνη*)医术，外科手术 *surgery, medicine*
ἰατρός, ὁ	医生 *physician*
πονέω [*πόνος*]	劳苦，苦干 *I work hard, work hard at*
προαίρεσις, -εως, ἡ	优先选择，细心考虑 *a choosing one thing before another, an act of deliberate choice*
ὑπήκοος, -ον	[*ὑπακούω* 听，倾听] 倾听的；服从的，顺从的 *listening to, obedient*
χαρίεις, χαρίεσσα, χαρίεν	[属格]-*εντος* 慈祥的；令人喜欢的；优美的 *graceful, kindly*
χάρις, ἡ	美，恩惠；感谢；（单数宾格用作副词，相当于介词，+ 属）为了……，为了……的缘故 *grace; gratitude*

第16课

哲人之死

【动词练习】

1. *Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἧκεν ἄγων τὸν μέλλοντα διδόναι τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον·*

ἀκούω　　听 *I listen, hear*

　— *ἀκούω, ἀκούσομαι, ἤκουσα, ἀκήκοα, --, ἠκούσθην*

νεύω　　点头示意，吩咐 *I nod, beckon*

ἵστημι　　安置，树立；站立 *I make stand, set; I stand*

　— *ἵστημι, στήσω, ἔστησα, ἕστηκα, ἕσταμαι, ἐστάθην*

ἐξ-έρχομαι　　从……出去，离开；出场；期满，结束 *I go/come out, come to an end, expire*

　— *ἔρχομαι, ἐλεύσομαι, ἦλθον, ἐλήλυθα, --, --* 来，去 *I come, go*

δια-τρίβω　　消耗，消磨(时间) *I wear away, spend time*

　— *τρίβω, τρίψω, ἔτριψα, τέτριφα, τέτριμμαι, ἐτρίφθην/ἐτρίβην* 摩擦，研磨 *I rub, grind*

ἥκω　　已来到；已达到 *I have come*

— ἥκω, (ἧκον), ἥξω, --, --, --, --

ἄγω 引领，带领；过活，度日 *I lead*

— ἄγω, ἄξω, ἤγαγον, ἦχα, ἦγμαι, ἤχθην

μέλλω 就要(做)，打算 *I am about to, intend to*

— μέλλω, μελλήσω, ἐμέλλησα, --, --, --

δίδωμι 给 *I give*

— δίδωμι, δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην

φέρω 携带，带走；承受，忍耐 *I carry, bear, endure, suffer*

— φέρω, οἴσω, ἤνεγκα, ἐνήνοχα, ἐνήνεγμαι, ἠνέχθην

A. 请对下列词汇进行词形分析

ἀκούσας

ἔνευσε

ἑστῶτι

ἐξελθών

διατρίψας

ἧκεν

ἄγων

μέλλοντα

διδόναι

φέροντα

τετριμμένον

B. 请填写 ἵστημι “现完、主动分词”

	阳性	阴性	中性
		单 数	
主呼格	ἑστώς	ἑστῶσα	ἑστός
属格			
与格			
宾格			
		复 数	
主呼格			
属格			
与格			
宾格			

2. ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον,

Εἶεν, ἔφη, ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν;

Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει.

εἴδω 看见；知道 *I see; I know*

— *εἴδω, εἴσομαι, εἶδον, οἶδα, --, --*

φημί 说 *I say*

χρή [无人称]需要……，必须(做)……，应该…… *it is necessary, it must*

ποιέω 做 *I do, make*

— *ποιέω, ποιήσω, ἐποίησα, πεποίηκα, πεποίημαι, ἐποιήθην*

πίνω 喝，饮 *I drink*

— *πίνω, πίομαι, ἔπιον, πέπωκα, πέπομαι, ἐπόθην*

περί-ειμι [*περί* + εἶμι] 绕圈子 *I go round*

γίγνομαι 产生，出现，生成，成为 *I become, come to be*

— *γίγνομαι, γενήσομαι, ἐγενόμην, γέγονα, --, --*

κατά-κειμαι 躺下 *I lie down*

请对下列词汇进行词形分析

ἰδών

ἔφη

χρή

ποιεῖν

πιόντα

περιιέναι

γένηται

κατακεῖσθαι

ποιήσει

3. *Καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει· καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον,*

Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πώματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ;

ὀρέγω 递给，伸出；想望，渴望 *I reach, stretch out, aim at, long for*

— *ὀρέγω, ὀρέξω, ὤρεξα, --, ὀρώρεγμαι, ὠρέχθην*

λαμβάνω 拿，抓住 *I take*

— *λαμβάνω, λήψομαι, ἔλαβον, εἴληφα, εἴλημμαι, ἐλήφθην*

τρέω 吓得发抖，打哆嗦 *I tremble, quiver*

— *τρέω, τρέσω, ἔτρεσα, --, --, --*

δια-φθείρω 毁灭；败坏 *I destroy, ruin*

— φθείρω, φθερῶ, ἔφθειρα, ἔφθαρκα (ἔφθορα), ἔφθαρμαι, ἐφθάρην 破坏，损毁

ἔθω 惯于，习惯于 *I am accustomed*

— 其“现完 2” εἴωθα 在时间方面的含义与“现在时”相同

ὑπο-βλέπω 斜着眼睛看；藐视 *I look askance*

λέγω 说 *I say*

— λέγω, λέξω, ἔλεξα/εἶπον, εἴρηκα, λέλεγμαι, ἐλέχθην

φημί 说 *I say*

ἀπο-σπένδω 奠酒祭神，泼洒 *I pour out (a libation)*

— σπένδω, σπείσω, ἔσπεισα, ἔσπεισμαι 奠酒，酹酒 *I pour out a drink-offering*

ἔξ-εστι [ἐκ, εἰμί] [无人称] 可以……，可能……，能够…… *it is allowed, possible*

请对下列词汇进行词形分析

ὤρεξε

λαβών

τρέσας

διαφθείρας

εἰώθει

ὑποβλέψας

ἀποσπεῖσαι

4. *Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν.*

Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ.

Καὶ ἅμ' εἰπὼν ταῦτα ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιεν.

φημί 说 *I say*

τρίβω 摩擦，研磨 *I rub, grind*

— τρίβω, τρίψω, ἔτριψα, τέτριφα, τέτριμμαι, ἐτρίφθην/ἐτρίβην

οἴομαι(常写作 οἶμαι) 认为，相信；期望；恐怕 *I think, suppose, fear, intend*

— οἴομαι, (ᾤμην), οἰήσομαι, ᾠήθην, --, --, --

εἰμί 是，存在 *I am*

πίνω 喝，饮 *I drink*

— πίνω, πίομαι, ἔπιον, πέπωκα, πέπομαι, ἐπόθην

μανθάνω 学习，知道 *I learn*

— μανθάνω, μαθήσομαι, ἔμαθον, μεμάθηκα, --, --

ἠμί 说 *I say*

εὔχομαι 祈求，起誓 *I pray, beseech*

— εὔχομαι, ηὔξομαι, εὐξάμην (εὐχόμην), ηὖγμαι, --, --

ἔξ-εστι [ἐκ + εἰμί] [无人称] 可以……，可能……，能够…… *it is allowed, possible*

χρή [无人称] 需要……，必须(做)……，应该…… *it is necessary, it must*

γίγνομαι 产生，出现，生成，成为 *I become, come to be*

— *γίγνομαι, γενήσομαι, ἐγενόμην, γέγονα, --, --*

εἴρω 说 *I say*

— *εἴρω, ἐρῶ, εἶπον, εἴρηκα, εἴρημαι, ἐρρήθην*

ἐπ-έχω [*ἐπί* + *ἔχω*] 拿给，对准 *I hold out, reach to*

— *ἔχω, ἕξω, ἔσχον, ἔσχηκα, -έσχημαι* 有 *I have*

ἐκ-πίνω 喝光 *I drink off*

— *ἐκπίνω, ἐκπίομαι, ἐξέπιον, ἐκπέπωκα, ἐκπεπόμαι, ἐξεπόθην*

请对下列词汇进行词形分析

τρίβομεν

οἰόμεθα

πιεῖν

μανθάνω

εὔχεσθαι

γενέσθαι

εὔχομαι

γένοιτο

εἰπών

ἐπισχόμενος

ἐξέπιεν

5. *Καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴ ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην.*

εἰμί 是，存在 *I am*

κατ-έχω [*κατά, ἔχω*] 阻止，占领，控制 *I keep down/back, check, occupy*

δακρύω [*δάκρυ, τό* 眼泪] 哭泣，流泪 *I weep*

— *δακρύω, δακρύσω, ἐδάκρυσα, δεδάκρυκα, δεδάκρυμαι, --*

εἴδω 看 *I see*

— *εἴδω, εἴσομαι, εἶδον, οἶδα* (知道 *I know*), --, --

πίνω 喝，饮 *I drink*

— *πίνω, πίομαι, ἔπιον, πέπωκα, πέπομαι, ἐπόθην*

χωρέω 让出地方，撤退；前行；容纳 *I give way, withdraw, go forward, contain*

— *χωρέω, χωρήσω, ἐχώρησα, κεχώρηκα*

ἐγ-καλύπτω	包住，遮掩 *I wrap up, hide*
— καλύπτω, καλύψω, ἐκάλυψα,--, --, -- 覆盖，掩蔽 *I cover, conceal*	
ἀπο-κλαίω	[ἀπό, κλαίω] 痛哭；停止哭 *I burst into tears; cease to weep*
— κλαίω, κλαύσομαι, ἔκλαυσα, κέκαυμαι 哭，痛哭 *I weep*	
στερέω	剥夺，夺走；[被动] 被夺去 *I deprive, am deprived of*
— στερέω, στερήσω, ἐστέρησα, --, ἐστέρημαι, ἐστερήθην	

请对下列词汇进行词形分析

ἦσαν
κατέχειν
δακρύειν
εἴδομεν
πίνοντα
πεπωκότα
ἐχώρει
ἐγκαλυψάμενος
ἀπέκλαιον
ἐστερημένος
εἴην

6. *Ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος κλαίων καὶ ἀγανακτῶν οὐδένα ὅντινα οὐ κατέκλαυσε τῶν παρόντων πλήν γε αὐτοῦ Σωκράτους.*

κατ-έχω	[κατά, ἔχω] 阻止，占领，控制 *I keep down/back, check, occupy*
ἐξ-ανίστημι	[ἐκ, ἀνά, ἵστημι] 从座位上起立并离去 *I stand up from my seat, I arise and depart from*
— ἵστημι, στήσω, ἔστησα /ἔστην, ἕστηκα, ἕσταμαι, ἐστάθην 安置；站立 *I set, stand*	
παύω	使停止，使终止；结束 *I stop, bring to an end, cease*
ἀνα-βρυχάομαι	[βρυχάομαι (野兽)吼叫] 大叫，大吼 *I roar loudly*
κλαίω	哭 *I weep*
— κλαίω, κλαύσομαι, ἔκλαυσα, --, κέκλαυμαι, ἐκλαύσθην	
ἀγανακτέω, -ήσω	[ἄγαν 极，非常] 感到不快，气愤 *I am annoyed*
πάρ-ειμι①	[παρά, εἰμί] 在旁边，在场 *I am near, present*
κατα-κλαίω	放声痛哭 *I bewail, lament*

请对下列词汇进行词形分析

κατέχειν
ἐξανέστη

ἐπαύετο

δακρύων

ἀναβρυχησάμενος

κλαίων

ἀγανακτῶν

κατέκλαυσε

παρόντων

7. *Ἐκεῖνος δέ,*

Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα, ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε.

Καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν.

φημί 说 *I say*

ποιέω 做 *I do, make*

— *ποιέω, ποιήσω, ἐποίησα, πεποίηκα, πεποίημαι, ἐποιήθην*

ἀπο-πέμπω 送走，赶走 *I send away/back*

— *πέμπω, πέμψω, ἔπεμψα, πέπομφα, πέπεμμαι, ἐπέμφθην* 送去，派遣 *I send*

πλημμελέω 弹错调子，犯错误 *I strike a false note, err*

ἀκούω 听 *I listen, hear*

— *ἀκούω, ἀκούσομαι, ἤκουσα, ἀκήκοα, --, ἠκούσθην*

χρή [无人称] 需要……，必须(做)……，应该…… *it is necessary, it must*

τελευτάω 使完成；实现；死亡；完结 *I complete, come to an end, die*

ἄγω 引领，带领；过活，度日 *I lead*

— *ἄγω, ἄξω, ἤγαγον, ἦχα, ἦγμαι, ἤχθην*

καρτερέω [*καρτερός* 强大的，坚忍的 *strong, enduring*] 坚持，忍耐 *I am firm, endure*

αἰσχύνω 羞辱，[被动] 受侮辱，感到羞耻 *I disgrace, I am ashamed*

— *αἰσχύνω, αἰσχυνῶ, ᾔσχυνα, ᾔσχυγκα, ᾔσχυμμαι, ᾐσχύνθην*

ἐπ-έχω [*ἐπί, ἔχω*] 拿给，对准；堵住，阻止 *I hold out, reach to; stop, hinder*

— *ἔχω, ἕξω, ἔσχον, ἔσχηκα, -έσχημαι, --* 有 *I have*

δακρύω [*δάκρυ, τό* 眼泪] 哭泣，流泪 *I weep*

— *δακρύω, δακρύσω, ἐδάκρυσα, δεδάκρυκα, δεδάκρυμαι, --*

请对下列词汇进行词形分析

ποιεῖτε

ἀπέπεμψα

πλημμελοῖεν

ἀκήκοα

τελευτᾶν

ἄγετε

καρτερεῖτε

ἀκούσαντες

ᾐσχύνθημεν

ἐπέσχομεν

δακρύειν.

8. *Ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο, εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη· καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο, ὅτι ψύχοιτό τε καὶ πηγνῦτο.*

περι-ἔρχομαι 环绕，环行，循环 *I go round, come in turn*

βαρύνω [*βαρύς*] 使负重，[被动]被弄得精疲力尽 *I weigh down, am oppressed*

κατα-κλίνω 使躺下，[被动] 躺下 *I lay down, lie down*

— *κλίνω, κλινῶ, ἔκλινα, κέκλικα, κέκλιμαι, ἐκλίθην* 使斜，[被动] 斜靠，躺 *I incline, lie against*

κελεύω 命令，吩咐，恳求 *I order, bid, beseech*

ἐφ-άπτω [*ἐπί, ἅπτω*] 拴在……上，[中动] 抓住 *I fasten to, grasp*

— *ἐφ-άπτω, ἐφάψω, ἐφῆψα, ἐφῆμμαι, --, --*

δίδωμι 给 *I give*

— *δίδωμι, δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην*

δια-λείπω 空下一段时间，隔一定距离；停顿 *I leave an interval/gap, desist*

ἐπι-σκοπέω 察看，检查；探视，访问 *I look upon, inspect, visit*

πιέζω (*πιεζέω*) 压紧，捏住，抓住 *I press, squeeze, lay hold of*

— *πιέζω, πιέσω, ἐπίεσα, πεπίεσμαι, ἐπιέσθην*

ἐρωτάω 问 *I ask*

— *ἐρωτάω, ἐρωτήσω, ἠρόμην, ἠρώτηκα, ἠρώτημαι, ἠρωτήθην*

αἰσθάνομαι 感知 *I perceive*

— *αἰσθάνομαι, αἰσθήσομαι, ᾐσθόμην, --, ᾔσθημαι, --*

φημί 说 *I say*

ἐπ-άνειμι [*ἐπί, ἀνά, εἶμι*] 升起，上升；回去 *I go up, return*

ψύχω 吹气，使变冷；[被动] 变冷 *I breathe, blow, cool*

— *ψύχω, ψύξω, ἔψυξα, --, --, ἐψύχθην*

πήγνυμι 插，钉牢；[被动] 凝固，凝结 *I fix, congeal*

— *πήγνυμι, πήξω, ἔπηξα, πέπηγμαι, --, --*

请对下列词汇进行词形分析

περιελθών
βαρύνεσθαι
κατεκλίθη
ἐκέλευεν
ἐφαπτόμενος
δούς
διαλιπών
ἐπεσκόπει
πιέσας
ἤρετο
αἰσθάνοιτο
ἐπανιών
ἐπεδείκνυτο
ψύχοιτο
πηγνῦτο

9. *Καὶ αὖθις ἥπτετο καὶ εἶπεν ὅτι, ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος, ἐνεκεκάλυπτο γάρ, εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο·*

Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε καὶ μὴ ἀμελήσητε.

ἅπτω　拴上，使依附在(某物上)；燃烧，着火 *I fasten, kindle*
　— *ἅπτω, ἅψω, ἧψα, ἧμμαι, --, ἥφθην*
εἴρω　说 *I say*
　— *εἴρω, ἐρῶ, εἶπον, εἴρηκα, εἴρημαι, ἐρρήθην*
γίγνομαι　产生，出现，生成，成为 *I become, come to be*
　— *γίγνομαι, γενήσομαι, ἐγενόμην, γέγονα, --, --*
οἴχομαι　已经走了 *I am absent, gone*
　— *οἴχομαι,* (*ᾠχόμην*), *οἰχήσομαι, ᾤχημαι, --, --, --*
εἰμί　是，存在 *I am*
ψύχω　吹气，使变冷；[被动] 变冷 *I breathe, blow, cool*
　— *ψύχω, ψύξω, ἔψυξα, --, --, ἐψύχθην*
ἐκ-καλύπτω　揭去掩盖物 *I uncover*
ἐγ-καλύπτω　包住，遮掩 *I wrap up, hide*
　— *καλύπτω, καλύψω, ἐκάλυψα,--, --, --* 覆盖，掩蔽 *I cover, conceal*
φθέγγομαι　发出声音，清楚说话 *I cry aloud, speak*
　— *φθέγγομαι, φθέγξομαι, ἐφθεγξάμην, ἔφθεγμαι, --, --*
φημί　说 *I say*

ὀφείλω	欠(债) *I owe, am indebted*
— ὀφείλω, (ὤφειλον), ὀφειλήσω, ὠφείλησα, ὠφείληκα, --, --	
ἀπο-δίδωμι	归还，报答 *I give back, return*
— δίδωμι, δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην 给 *I give*	
ἀμελέω	忽视，忽略，不关心 *I am careless, neglect*

请对下列词汇进行词形分析

ἥπτετο

εἶπεν

γένηται

οἰχήσεται

ψυχόμενα

ἐκκαλυψάμενος

ἐνεκεκάλυπτο

ἐφθέγξατο

ὀφείλομεν

ἀπόδοτε

ἀμελήσητε

10. *Ἀλλὰ ταῦτα, ἔφη, ἔσται, ὁ Κρίτων· ἀλλ' ὅρα, εἴ τι ἄλλο λέγεις.*

Ταῦτα ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων συνέλαβε τὸ στόμα καὶ τοὺς ὀφθαλμούς.

εἰμί	是，存在 *I am*
ὁράω	看 *I see*
— ὁράω, ὄψομαι, εἶδον, ἑώρακα, ὦμμαι, ὤφθην	
λέγω	说 *I say*
— λέγω, λέξω, ἔλεξα/εἶπον, εἴρηκα, λέλεγμαι, ἐλέχθην	
ἐρωτάω	问 *I ask*
— ἐρωτάω, ἐρωτήσω, ἠρόμην, ἠρώτηκα, ἠρώτημαι, ἠρωτήθην	
ἀπο-κρίνομαι	回答 *I answer*
— ἀποκρίνομαι, ἀποκρινοῦμαι, ἀπεκρινάμην, --, ἀποκέκριμαι, --	
δια-λείπω	空下一段时间，隔一定距离；停顿 *I leave an interval/gap, desist*
κινέω	使移动，发动 *I move, urge on*
ἐκ-καλύπτω	揭去掩盖物 *I uncover*
ἵστημι	使固定，安置；站立 *I make stand; I stand*
— ἵστημι, στήσω, ἔστησα/ἔστην, ἕστηκα, ἕσταμαι, ἐστάθην	
εἴδω	看 *I see*

— εἴδω, εἴσομαι, εἶδον, οἶδα(知道 *I know*), --, --

συλ-λαμβάνω	集合；使……闭上 *I put/bring together, collect*

请对下列词汇进行词形分析

ἐρομένου

ἀπεκρίνατο

διαλιπών

ἐκινήθη

ἐξεκάλυψεν

ἔστησεν

ἰδών

συνέλαβε

11. Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

γίγνομαι	产生，出现，生成，成为 *I become, come to be*
— γίγνομαι, γενήσομαι, ἐγενόμην, γέγονα, --, --	
φημί	说 *I say*
πειράω	试图，企图 *I try, attempt*
— πειράω, (ἐπείρων), πειράσω, ἐπείρασα, πεπείρακα, πεπείραμαι, ἐπειράθην	

请对下列词汇进行词形分析

ἐγένετο

φαῖμεν

ἐπειράθημεν

【课 文】

Η ΤΕΛΕΥΤΗ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ
(柏拉图《斐多篇》117B-118)①

Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἧκεν ἄγων τὸν μέλλοντα διδόναι τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον· ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον,

Εἶεν, ἔφη, ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν;

① 本课文参照 John Burnet'. *Plato's Phaedo* 进行段落划分，为了突出对话部分，所有的直接引语都独立另起一行，以便读者分析。

Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει.

Καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει· καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον,

